## 5. Πράξεις Παύλου καὶ Θέκλης*

1. 1 Ἀναβαίνοντος Παύλου εἰς Ἰκόνιον μετὰ τὴν φυγὴν τὴν ἀπὸ Ἀντιοχείας ἐγενήθησαν σύνοδοι αὐτῷ Δημᾶς καὶ [1] Ἑρμογένης ὁ χαλκεύς, ὑποκρίσεως γέμοντες [2], καὶ [3] ἐξελιπάρουν τὸν Παῦλον ὡς ἀγαπῶντες αὐτόν. Ὁ δὲ Παῦλος ἀποβλέπων εἰς μόνην τὴν ἀγαθοσύνην τοῦ Χριστοῦ [4] οὐδὲν φαῦλον ἐποίει αὐτοῖς, ἀλλ' ἔστεργεν αὐτοὺς σφόδρα, 2 ὥστε πάντα τὰ λόγια κυρίου [5] [καὶ τῆς διδασκαλίας καὶ τῆς ἑρμηνείας τοῦ εὐαγγελίου] καὶ τῆς γεννήσεως καὶ τῆς ἀναστάσεως [6] τοῦ ἠγαπημένου ἐγλύκαινεν αὐτούς, καὶ τὰ μεγαλεῖα τοῦ Χριστοῦ, πῶς ἀπεκαλύφθη αὐτῷ, κατὰ ῥῆμα διηγεῖτο αὐτοῖς ὅτι ἐκ σπέρματος Δαυὶδ καὶ ἐκ Μαρίας ἐγεννήθη ὁ Χριστός [7].

2. 1 Καί τις ἀνὴρ ὀνόματι [8] Ὀνησιφόρος ἀκούσας τὸν Παῦλον παραγενόμενον εἰς Ἰκόνιον, ἐξῆλθεν [9] σὺν τοῖς τέκνοις αὐτοῦ Σιμμίᾳ καὶ Ζήνωνι καὶ τῇ γυναικὶ αὐτοῦ Λέκτρᾳ [10] εἰς συνάντησιν Παύλου, ἵνα αὐτὸν ὑποδέξηται· διηγήσατο γὰρ αὐτῷ Τίτος ποταπός ἐστιν τῇ εἰδέᾳ ὁ Παῦλος· οὐ γὰρ εἶδεν αὐτὸν σαρκὶ ἀλλὰ μόνον πνεύματι [11].

3. 1 Καὶ ἐπορεύετο κατὰ τὴν βασιλικὴν ὁδὸν τὴν ἐπὶ Λύστραν, καὶ [12] εἱστήκει ἀπεκδεχόμενος αὐτόν, καὶ τοὺς ἐρχομένους ἐθεώρει κατὰ τὴν μήνυσιν Τίτου. Εἶδεν δὲ τὸν Παῦλον ἐρχόμενον, ἄνδρα μικρὸν τῷ μεγέθει, ψιλὸν τῇ κεφαλῇ, ἀγκύλον [13] ταῖς κνήμαις, εὐεκτικόν, σύνοφρυν, μικρῶς ἐπίρρινον, χάριτος πλήρη [14]· ποτὲ μὲν γὰρ ἐφαίνετο ὡς ἄνθρωπος, ποτὲ δὲ ἀγγέλου [15] πρόσωπον εἶχεν.

4. 1 Καὶ ἰδὼν ὁ Παῦλος τὸν Ὀνησιφόρον ἐμειδίασεν [16], καὶ εἶπεν ὁ Ὀνησιφόρος·

–Χαῖρε, ὑπηρέτα τοῦ εὐλογημένου θεοῦ [17]·

Κἀκεῖνος εἶπεν·

–Ἡ χάρις μετὰ σοῦ καὶ τοῦ οἴκου σου.

Δημᾶς δὲ καὶ Ἑρμογένης ἐζήλωσαν καὶ πλείονα τὴν ὑπόκρισιν ἐκίνησαν, ὡς εἰπεῖν τὸν Δημᾶν·

2–Ἡμεῖς οὐκ ἐσμὲν τοῦ εὐλογημένου [18], ὅτι ἡμᾶς οὐκ ἠσπάσω οὕτως;

Καὶ εἶπεν ὁ Ὀνησιφόρος·

–Οὐχ ὁρῶ ἐν ὑμῖν καρπὸν δικαιοσύνης· εἰ δὲ ἔστε τινές, δεῦτε καὶ ὑμεῖς εἰς τὸν οἶκόν μου καὶ ἀναπαύσασθε.

5. 1 Καὶ εἰσελθόντος Παύλου εἰς τὸν τοῦ Ὀνησιφόρου οἶκον ἐγένετο χαρὰ μεγάλη, καὶ κλίσις [19] γονάτων καὶ κλάσις ἄρτου καὶ λόγος θεοῦ περὶ ἐγκρατείας καὶ ἀναστάσεως, λέγοντος τοῦ Παύλου·

2–Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. Μακάριοι οἱ ἁγνὴν [20] τὴν σάρκα τηρήσαντες, ὅτι αὐτοὶ ναὸς θεοῦ [21] γενήσονται. Μακάριοι οἱ ἐγκρατεῖς, ὅτι αὐτοῖς λαλήσει ὁ θεός. Μακάριοι οἱ ἀποταξάμενοι τῷ κόσμῳ τούτῳ, ὅτι αὐτοὶ εὐαρεστήσουσιν [22] τῷ θεῷ. Μακάριοι [23] οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες, ὅτι αὐτοὶ κληρονομήσουσιν τὸν θεόν [24]. Μακάριοι οἱ φόβον ἔχοντες θεοῦ, ὅτι αὐτοὶ ἄγγελοι θεοῦ γενήσονται.

---

* Sic cum A: μαρτύριον τῆς ἁγίας πρωτομάρτυρος θέκλης BEF: *Passio sanctae Theclae uirginis et martyris* Uers. lat.

1 καὶ Κηφᾶς add. solum E.

2 γέμοντες πάσης ὑποκρίσεως B.

3 καὶ [...] αὐτόν] om. G: ὡς [...] αὐτόν om. C.

4 τοῦ θεοῦ] G.

5 πάντα τὰ λόγια κυρίου] om. ABC: Χριστοῦ C.

6 Ex his quatuor uocabulis, ἑρμενείας om. ABC: τοῦ εὐαγγελίου add. G (quod accipit Lipsius), sed reicit alia duo.

7 ὅτι ἐκ σπέρματος Δαυὶδ καὶ ἐκ Μαρίας ἐγεννήθη ὁ Χριστός] addimus cum FH: ὅτι [...] Μαρίας ὁ Χριστός ἐστιν ABCE, etc.

8 ὀνόματι] ABC: om. alii plures.

9 παραυτὰ δρομαίως add. G: εἰς συνάντησιν αὐτῷ μετὰ τῶν τέκνων Tischendorf.

10 *Recta* lat. m: *Lacta* lat. c.

11 *Non enim nouerat eum Honesiphorus sed tantum ex auditu sciebat eum* lat. bc (BC Gebhardt).

12 καὶ [...] αὐτόν] om lat. c.

13 ἀγκυλαῖον CEIKL: εὔκνημον G: *curibus elegantibus* lat. abc.

14 πλήρη] iuxta emend. Tisch.: πλήρης codd.: θεοῦ add. M.

15 ὡς ἄγγελος (om. πρόσωπον εἶχεν) K.

16 *laetatus est ualde* lat. bc.

17 καὶ εὐφραίνου add. M.

18 θεοῦ add. ABFIKLM (Tisch.) et uarii lat.

19 κλίσις] κλάσεις F (itacismus): καὶ κλίσις [...] ἄρτου] om. m.

20 τὴν καρδίαν ἔχοντες καὶ add. F: μακάριοι [...] γενήσονται] om. d.

21 *templum sancti spiritus* c.

22 Sic cum ABG cd: εὐθεῖς κληθήσονται CEFIKLM.

23 μακάριοι [...] τὸν θεόν] om. m.

24 τὸν θεόν] τὴν βασιλείαν τοῦ χριστοῦ M.

6. 1–Μακάριοι[25] οἱ τρέμοντες τὰ λόγια τοῦ θεοῦ, ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι[26] οἱ σοφίαν λαβόντες Ἰησοῦ Χριστοῦ, ὅτι αὐτοὶ υἱοὶ ὑψίστου κληθήσονται. Μακάριοι οἱ τὸ[27] βάπτισμα τηρήσαντες, ὅτι αὐτοὶ ἀναπαύσονται πρὸς τὸν πατέρα καὶ τὸν υἱόν[28]. Μακάριοι[29] οἱ σύνεσιν Ἰησοῦ Χριστοῦ χωρήσαντες, ὅτι αὐτοὶ ἐν φωτὶ[30] γενήσονται. Μακάριοι[31] οἱ δι' ἀγάπην θεοῦ ἐξελθόντες τοῦ σχήματος τοῦ κοσμικοῦ, ὅτι αὐτοὶ ἀγγέλους κρινοῦσιν καὶ ἐν δεξιᾷ τοῦ πατρὸς[32] εὐλογηθήσονται. 2Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται[33] καὶ οὐκ ὄψονται ἡμέραν κρίσεως πικράν[34]. Μακάρια τὰ σώματα τῶν παρθένων[35], ὅτι αὐτὰ εὐαρεστήσουσιν τῷ[36] θεῷ καὶ οὐκ ἀπολέσουσιν τὸν μισθὸν τῆς ἁγνείας αὐτῶν· ὅτι ὁ λόγος τοῦ πατρὸς ἔργον αὐτοῖς γενήσεται σωτηρίας εἰς ἡμέραν τοῦ υἱοῦ αὐτοῦ, καὶ ἀνάπαυσιν ἕξουσιν εἰς αἰῶνα αἰῶνος.

7. 1Καὶ ταῦτα τοῦ Παύλου λέγοντος ἐν μέσῳ τῆς ἐκκλησίας[37] ἐν τῷ Ὀνησιφόρου οἴκῳ, Θέκλα τις παρθένος Θεοκλείας μητρὸς μεμνηστευμένη ἀνδρὶ Θαμύριδι[38], καθεσθεῖσα ἐπὶ τῆς σύνεγγυς θυρίδος τοῦ οἴκου ἤκουεν νυκτὸς καὶ ἡμέρας τὸν περὶ ἁγνείας λόγον λεγόμενον ὑπὸ τοῦ Παύλου καὶ τῆς ἐν κυρίῳ πίστεως καὶ προσευχῆς[39]· 2καὶ οὐκ ἀπένευεν ἀπὸ τῆς θυρίδος, ἀλλὰ τῇ πίστει ἐπήγετο[40] ὑπερευφραινομένη. Ἔτι δὲ καὶ βλέπουσα πολλὰς γυναῖκας καὶ παρθένους εἰσπορευομένας πρὸς τὸν Παῦλον, ἐπεπόθει καὶ αὐτὴ καταξιωθῆναι κατὰ πρόσωπον στῆναι Παύλου καὶ ἀκούειν τὸν τοῦ Χριστοῦ λόγον· οὐδέπω γὰρ τὸν χαρακτῆρα Παύλου ἑωράκει, ἀλλὰ τοῦ λόγου ἤκουεν μόνον.

8. 1Ὡς δὲ οὐκ ἀφίστατο ἀπὸ τῆς θυρίδος, πέμπει ἡ μήτηρ αὐτῆς πρὸς τὸν Θάμυριν· ὁ δὲ ἔρχεται περιχαρής, ὡς ἤδη λαμβάνων αὐτὴν[41] πρὸς γάμον. Εἶπεν[42] οὖν ὁ Θάμυρις πρὸς Θεοκλείαν·

–Ποῦ μού ἐστιν ἡ Θέκλα;

Καὶ εἶπεν ἡ Θεοκλεία·

2–Καινόν σοι ἔχω εἰπεῖν διήγημα[43], Θάμυρι. Καὶ γὰρ ἡμέρας τρεῖς καὶ νύκτας τρεῖς Θέκλα ἀπὸ τῆς θυρίδος οὐκ ἐγείρεται, οὔτε ἐπὶ τὸ φαγεῖν οὔτε ἐπὶ τὸ πιεῖν, ἀλλὰ[44] ἀτενίζουσα ὡς πρὸς εὐφρασίαν, οὕτως πρόσκειται ἀνδρὶ ξένῳ ἀπατηλοὺς καὶ ποικίλους λόγους διδάσκοντι, ὥστε με θαυμάζειν πῶς[45] ἡ τοιαύτη αἰδὼς τῆς παρθένου χαλεπῶς ἐνοχλεῖται.

9. 1–Θάμυρι, ὁ ἄνθρωπος οὗτος τὴν Ἰκονιέων πόλιν ἀνασείει, ἔτι δὲ καὶ τὴν σὴν Θέκλαν· πᾶσαι γὰρ αἱ γυναῖκες καὶ οἱ νέοι εἰσέρχονται πρὸς αὐτόν, διδασκόμενοι παρ' αὐτοῦ ὅτι Δεῖ, φησίν, ἕνα καὶ μόνον θεὸν φοβεῖσθαι καὶ ζῆν ἁγνῶς. 2Ἔτι δὲ καὶ ἡ θυγάτηρ μου ὡς ἀράχνη ἐπὶ τῆς θυρίδος δεδεμένη τοῖς ὑπ' αὐτοῦ λόγοις[46] κρατεῖται ἐπιθυμίᾳ καινῇ

25 μακάριοι [...] παρακληθήσονται] om. CE cd.
26 μακάριοι [...] κληθήσονται] om. C cd.
27 τὸ ἅγιον καὶ σωτήριον add. M: καθαρὸν add. FG.
28 τοῦ θεοῦ ὄψονται AEFIKL: καὶ τὸ ἅγιον πνεῦμα add. GM.
29 μακάριοι [...] χωρήσαντες] om. C cd.
30 θεοῦ add. B.
31 μακάριοι [...] εὐλογηθ.] om. C Tisch.
32 τοῦ πατρὸς] τοῦ Χριστοῦ G abc.
33 ἐλεηθήσονται [...] πικράν] mss.: ἐλεοῦντες τὸν πένητα αὐτὸν τὸν Χριστὸν διακονοῦσιν M.
34 πικράν] om. B.
35 τῶν παρθένων] οἱ παρθενίαν ἀσκήσαντες ὅτι αὐτοὶ παραστήσονται τῷ Χριστῷ B.
36 τῷ αἰωνίῳ καὶ μεγάλῳ add. M.
37 *per totam noctem* add. ab.
38 *Tamiro principi* c (lat. cod. Casini).

39 Sic AB: τὸν περὶ θεοῦ λόγον λεγόμενον ὑπὸ τοῦ Παύλου καὶ τὸν περὶ ἁγνείας καὶ τῆς ἐν Χριστῷ πίστεως καὶ προσευχῆς EIGK, etsi G adhibet ἀγάπης loco ἁγνείας: τὸν τῆς παρθενίας λόγον καὶ προσευχῆς C Tisch.
40 uocabulum diuerse in diuersis codd. expressum: ἐπήγετο prop. Lipsius: ἐπείγετο Tisch cum CE: ὑπήγετο G: ὑπείγετο F: ἀπήγετο IK (*ducebatur* abc).
41 εἰς τὰ ἴδια add. B.
42 εἶπεν οὖν [...] Θέκλα] om. ABCEIK (homeotel.): adhibent alii testes.
43 διήγημα] θέαμα C: *spectaculum* m: πρᾶγμα I.
44 Ante ἀτενίζουσα *adhaesit ut aranea in fenestra* add. lat. c: *inhaesit* d. Cf. 9,2.
45 πῶς] AB Tisch: ὅτι CG *cd*: εἰ EFIK.
46 Sic cum EIK (cdm): τοῖς ὑπὸ Παύλου λόγοις AB Tisch: τοῖς Παύλου λόγοις G.

καὶ πάθει δεινῷ[47]. Ἀτενίζει γὰρ τοῖς λεγομένοις ὑπ' αὐτοῦ καὶ ἑάλωται[48] ἡ παρθένος. Ἀλλὰ πρόσελθε αὐτῇ σὺ καὶ λάλησον· σοὶ γάρ ἐστιν ἡρμοσμένη.

10. [1]Καὶ προσελθὼν Θάμυρις, ἅμα μὲν φιλῶν αὐτήν, ἅμα δὲ καὶ φοβούμενος τὴν ἔκπληξιν αὐτῆς, εἶπεν·

–Θέκλα ἐμοὶ μνηστευθεῖσα, τί τοιαύτη κάθησαι[49]; καὶ ποῖόν σε πάθος κατέχει ἔκπληκτον; ἐπιστράφηθι πρὸς τὸν σὸν Θάμυριν καὶ αἰσχύνθητι.

Ἔτι δὲ καὶ ἡ μήτηρ αὐτῆς τὰ αὐτὰ ἔλεγεν·

[2]–Τέκνον[50], τί τοιαύτη κάτω βλέπουσα κάθησαι, καὶ μηδὲν ἀποκρινομένη ἀλλὰ παραπλήξ;

Καὶ οἱ μὲν[51] ἔκλαιον δεινῶς, Θάμυρις μὲν γυναικὸς ἀστοχῶν, Θεοκλεία δὲ τέκνου, αἱ δὲ παιδίσκαι κυρίας· πολλὴ οὖν σύγχυσις ἦν ἐν τῷ οἴκῳ πένθους. Καὶ τούτων οὕτως γινομένων Θέκλα οὐκ ἀπεστράφη[52], ἀλλ' ἦν ἀτενίζουσα τῷ λόγῳ Παύλου[53].

11. [1]Ὁ δὲ Θάμυρις ἀναπηδήσας ἐξῆλθεν[54] εἰς τὸ ἄμφοδον[55], καὶ παρετήρει τοὺς εἰσερχομένους πρὸς τὸν Παῦλον καὶ ἐξερχομένους. Καὶ εἶδεν δύο ἄνδρας εἰς ἑαυτοὺς μαχομένους πικρῶς. Καὶ εἶπεν πρὸς αὐτούς·

[2]–Ἄνδρες, τίνες ἐστὲ εἴπατέ μοι, καὶ τίς οὗτος ὁ ἔσω μεθ' ὑμῶν[56], πλανῶν[57] ψυχὰς νέων καὶ παρθένων ἀπατῶν, ἵνα γάμοι μὴ γίνωνται ἀλλὰ οὕτως μένωσιν· ὑπισχνοῦμαι οὖν ὑμῖν δοῦναι πολλὰ χρήματα, ἐὰν εἴπητέ μοι περὶ αὐτοῦ· εἰμὶ γὰρ πρῶτος τῆς πόλεως[58].

12. [1]Καὶ ὁ Δημᾶς καὶ Ἑρμογένης εἶπον[59] αὐτῷ·

–Οὗτος μὲν τίς ἐστιν, οὐκ οἴδαμεν· στερεῖ[60] δὲ νέους γυναικῶν καὶ παρθένους ἀνδρῶν, λέγων· Ἄλλως ἀνάστασις ὑμῖν οὐκ ἔστιν, ἐὰν μὴ ἁγνοὶ μείνητε καὶ τὴν σάρκα μὴ μολύνητε ἀλλὰ τηρήσητε ἁγνήν[61].

13. [1]Ὁ δὲ Θάμυρις εἶπεν αὐτοῖς·

–Δεῦτε, ἄνδρες[62], εἰς τὸν οἶκόν μου καὶ ἀναπαύσασθε μετ' ἐμοῦ.

Καὶ ἀπῆλθον εἰς πολύτιμον δεῖπνον καὶ πολὺν οἶνον καὶ πλοῦτον μέγαν καὶ τράπεζαν λαμπράν[63]· καὶ ἐπότισεν αὐτοὺς ὁ Θάμυρις[64], φιλῶν[65] τὴν Θέκλαν καὶ θέλων[66] τυχεῖν γυναικός. Καὶ εἶπεν ἐν τῷ δείπνῳ ὁ Θάμυρις·

[2]–Ἄνδρες, εἴπατέ μοι, τίς ἐστιν ἡ διδασκαλία αὐτοῦ, ἵνα κἀγὼ γνῶ· οὐ[67] γὰρ μικρῶς ἀγωνιῶ περὶ τῆς[68] Θέκλης, ὅτι[69] οὕτως φιλεῖ τὸν ξένον καὶ ἀποστεροῦμαι γάμου.

14. [1]Εἶπον δὲ[70] Δημᾶς καὶ Ἑρμογένης[71]·

–Προσάγαγε αὐτὸν τῷ ἡγεμόνι Καστελίῳ ὡς ἀναπείθοντα τοὺς ὄχλους ἐπὶ καινῇ διδαχῇ Χριστιανῶν, καὶ οὕτως[72] ἀπολεῖ αὐτὸν[73] καὶ σὺ ἕξεις τὴν γυναῖκά σου Θέκλαν. Καὶ ἡμεῖς σε διδάξομεν, ἣν λέγει οὗτος ἀνάστασιν γενέσθαι[74], ὅτι ἤδη γέγονεν ἐφ' οἷς ἔχομεν τέκνοις, καὶ[75] ἀνιστάμεθα θεὸν ἐπεγνωκότες ἀληθῆ.

47 πάθει κενῷ (καινῷ) EIK: *atque nouae doctrinae* m.: om. cd.

48 ἑάλωται] iuxta AF Tisch: καὶ ἀπέδωκε λιμῷ K: ἐλπίζει παρθένος διαμένειν C.

49 κάτω βλέπουσα add. FG. Cf. 7,2.

50 *Thecla* add. uarii codd. lat.

51 ἐν τῷ οἴκῳ add. E (Syr.).

52 οὐκ ἀπεστράφη] codd.: ἀπὸ τῆς θυρίδος οὐκ ἀφίστατο C.

53 Sic cum AB Tisch: ἀλλ' ἦν ὅλη πρὸς τὸν λόγον Παύλου προσέχουσα E: ἀλλ' ἦν πρὸς τὸν λόγον Παύλου ἀποβλέπουσα FG.

54 ἐξῆλθεν] ἔξω ἐξελθὼν C (om. ἀναπηδήσας [...] ἄμφοδον): loco ἀναπηδήσας lat. a dicit *ira plenus*: *furia plenus* c.

55 *ad hospitium pauli* lat. b.

56 ὁ ἔσω μεθ' ὑμῶν] BEFG: ὁ ἑστὼς μεθ' ὑμῶν A: οὗτος ὁ μεθ' ὑμῶν C Tisch.

57 Vouaux πλανῶν cum ὁ ἔσω μεθ' ὑμῶν coniungit: πλάνος ἄνθρωπος AB.

58 καὶ οὐ μικρῶς ἀγωνιῶ περὶ τῆς (μνεστευθείσης μοι EF) Θέκλης, ὅτι οὕτως φιλεῖ τὸν ξένον καὶ στεροῦμαι γάμου add. DEF.

59 εἶπον] ὡς ἐξ ἑνὸς στόματος τῷ Θάμυρι C.

60 στερεῖ] CEFG: στερίσκει AB Tisch.

61 ἀλλὰ τηρήσετε ἁγνήν] om. FG et omnes codd. lat.

62 μετ' ἐμοῦ add. FG.

63 παρέθηκεν αὐτοῖς add. FG.

64 εἰς μέθην add. EF.

65 φιλῶν] ποθῶν C Tisch.

66 θέλων [...] γυναικός] αὐτῆς τυχεῖν μεμνηστευμένης αὐτῷ εἰς γυναῖκα E.

67 οὐ [...] ἀγωνιῶ] μικρός μοι ἀγών ἐστιν B.

68 παρθένου add. AB.

69 ὅτι οὕτως [...] γάμου] om. C.

70 αὐτῷ add. AB.

71 ὡς ἐκ στόματος ἑνὸς Θάμυρι add. FG et uarii lat. codd.

72 οὕτως] om. ABEF: κατὰ τὸ δόγμα τοῦ καίσαρος add. C.

73 ταχέως add. C Tisch.

74 γενέσθαι] γίνεσθαι AB.

75 καὶ [...] ἀληθῆ] om. lat. codd.: ἀληθῆ om. G.

15. [1]Ὁ δὲ Θάμυρις ἀκούσας παρ' αὐτῶν ταῦτα, καὶ πλησθεὶς ζήλου καὶ θυμοῦ ὄρθρου ἀναστὰς εἰς τὸν οἶκον Ὀνησιφόρου ἀπῆλθεν μετὰ ἀρχόντων καὶ δημοσίων καὶ ὄχλου ἱκανοῦ μετὰ ξύλων, λέγων τῷ Παύλῳ[76]·

[2]–Διέφθειρας τὴν Ἰκονιέων πόλιν καὶ τὴν ἡρμοσμένην μοι[77], ἵνα μὴ θελήσῃ γαμηθῆναί μοι[78]· ἄγωμεν ἐπὶ τὸν ἡγεμόνα Καστέλιον. Καὶ[79] πᾶς ὁ ὄχλος ἔλεγεν· Ἀπάγαγε τὸν μάγον· διέφθειρεν γὰρ ἡμῶν πάσας τὰς γυναῖκας, καὶ συνεπείσθησαν[80] οἱ ὄχλοι.

16. [1]Καὶ στὰς πρὸ τοῦ βήματος ὁ Θάμυρις κραυγῇ μεγάλῃ εἶπεν[81]·

–Ἀνθύπατε, ὁ ἄνθρωπος οὗτος οὐκ οἴδαμεν πόθεν ἐστίν[82], ὃς οὐκ ἐᾷ γαμεῖσθαι τὰς παρθένους· εἰπάτω ἐπὶ σοῦ τίνος ἕνεκεν ταῦτα διδάσκει.

[2]Ὁ δὲ Δημᾶς καὶ Ἑρμογένης εἶπον[83] τῷ Θαμύριδι·

–Λέγε αὐτὸν Χριστιανόν, καὶ οὕτως[84] ἀπολέσεις αὐτόν.

Ὁ δὲ ἀνθύπατος[85] ἔστησεν τὴν διάνοιαν αὐτοῦ καὶ ἐκάλεσεν τὸν Παῦλον λέγων αὐτῷ·

–Τίς εἶ, καὶ τί διδάσκεις[86]; οὐ γὰρ μικρῶς σου κατηγοροῦσιν.

17. [1]Καὶ ἦρεν τὴν φωνὴν αὐτοῦ ὁ Παῦλος λέγων·

–Εἰ ἐγὼ σήμερον ἀνακρίνομαι τί διδάσκω, ἄκουσον, ἀνθύπατε. Θεὸς ζῶν[87], θεὸς ἐκδικήσεων, θεὸς ζηλωτής, θεὸς ἀπροσδεής, χρῄζων τῆς τῶν ἀνθρώπων σωτηρίας ἔπεμψέν με, ὅπως ἀπὸ τῆς φθορᾶς καὶ τῆς ἀκαθαρσίας ἀποσπάσω αὐτοὺς καὶ πάσης ἡδονῆς καὶ θανάτου, ὅπως μηκέτι[88] ἁμαρτάνωσιν· [2]διὸ ἔπεμψεν ὁ θεὸς τὸν ἑαυτοῦ παῖδα[89], ὃν ἐγὼ εὐαγγελίζομαι καὶ διδάσκω ἐν ἐκείνῳ ἔχειν τὴν ἐλπίδα τοὺς ἀνθρώπους, ὃς μόνος συνεπάθησεν πλανωμένῳ κόσμῳ, ἵνα μηκέτι ὑπὸ κρίσιν ὦσιν οἱ ἄνθρωποι, ἀλλὰ πίστιν ἔχωσιν καὶ φόβον θεοῦ καὶ γνῶσιν σεμνότητος καὶ ἀγάπην ἀληθείας. Εἰ οὖν ἐγὼ τὰ ὑπὸ θεοῦ μοι ἀποκεκαλυμμένα διδάσκω, τί ἀδικῶ, ἀνθύπατε[90];

Ὁ δὲ ἀνθύπατος ἀκούσας ἐκέλευσεν δεθῆναι τὸν Παῦλον καὶ εἰς φυλακὴν ἀπαχθῆναι, μέχρις ἂν εὐσχολήσας ἐπιμελέστερον ἀκούσῃ αὐτοῦ.

18. [1]Ἡ δὲ Θέκλα νυκτὸς περιελομένη τὰ ψέλια[91] ἔδωκεν τῷ πυλωρῷ, καὶ ἀνοιγείσης αὐτῇ τῆς θύρας ἀπῆλθεν εἰς τὴν φυλακήν· καὶ δοῦσα τῷ δεσμοφύλακι κάτοπτρον[92] ἀργυροῦν εἰσῆλθεν πρὸς τὸν Παῦλον, καὶ καθίσασα παρὰ τοὺς πόδας αὐτοῦ ἤκουσεν[93] τὰ μεγαλεῖα τοῦ θεοῦ. Καὶ[94] οὐδὲν ἐδεδοίκει ὁ Παῦλος, ἀλλὰ τῇ τοῦ θεοῦ[95] παρρησίᾳ ἐνεπολιτεύετο· κἀκείνης ηὔξανεν ἡ πίστις, καταφιλούσης τὰ δεσμὰ αὐτοῦ.

19. [1]Ὡς[96] δὲ ἐζητεῖτο Θέκλα ὑπὸ τῶν ἰδίων[97] καὶ Θαμύριδος[98], ὡς ἀπολλυμένη ἐδιώκετο κατὰ τὰς ὁδούς, καί τις τῶν συνδούλων τοῦ πυλωροῦ ἐμήνυσεν[99] ὅτι νυκτὸς ἐξῆλθεν. Καὶ[100] ἀνήτασαν τὸν πυλωρόν, καὶ εἶπεν αὐτοῖς ὅτι

[76] τῷ Παύλῳ] CEFG: om. AB Tisch.
[77] Θέκλαν add. FG.
[78] Sic cum E: μοι γῆμαι FG: συγγενέσθαι μετ' ἐμοῦ C: ἵνα μὴ θελήσῃ με AB Tisch. Lips.
[79] Καὶ πᾶς [...] γυναῖκας] om. C.
[80] καὶ [...] ὄχλοι] καὶ συνεπέστη ὁ ὄχλος C.
[81] τῷ ἡγεμόνι add. syr.
[82] Sic cum ABEFG: τίς ἐστιν οὐκ οἴδαμεν C Tisch.
[83] ὡς ἐξ ἑνὸς στόματος add. C.
[84] οὕτως] ABEF Tisch.: εὐθέως C: συντόμως post ἀπολέσεις G.
[85] ἀνθύπατος] mss.: ἡγεμὼν FG.
[86] Τίς [...] διδάσκεις] τί εἶς ὅτι διδάσκεις G.
[87] θεὸς ζῶν] CF Tisch: om. ABEG et uarii lat. codd.

[88] μηκέτι] CEFG: μὴ AB Tisch.
[89] Ἰησοῦν Χριστὸν add. FG: Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ AB.
[90] ἀνθύπατε] CEF: om. AB Tisch.
[91] ψέλια] ἑαυτῆς ἐνώτια G.
[92] καὶ δοῦσα [...] κάτοπτρον] καὶ ἔδωκεν τ. δ. ἔσοπτρον C: *aureum anulum* syr[d].
[93] ἤκουσεν] ABEG: ἤκουεν CF Tisch.
[94] Καὶ [...] ἐδεδοίκει] καὶ ὡς οὐδὲν ἐδόκει πάσχειν FG.
[95] χάριτι add. B: βοηθείᾳ add. G.
[96] *Ut autem lux orta est* praemittit lat. *bc*.
[97] τῶν ἰδίων] ἰουδαίων G.
[98] Θάμυρις [...] ἐδίωκεν AB Tisch: *ita ut Tammirus persequeretur* lat. c.
[99] ἐμήνυσεν] αὐτοῖς εἰπὼν add. G lat. m.
[100] ἐξελθόντες add. C Tisch.

πεπόρευται πρὸς τὸν ξένον εἰς τὸ δεσμωτήριον· καὶ ἀπῆλθον καθὼς εἶπεν αὐτοῖς καὶ εὗρον αὐτὴν τρόπον τινὰ συνδεδεμένην τῇ στοργῇ. Καὶ ἐξελθόντες ἐκεῖθεν τοὺς ὄχλους ἐπεσπάσαντο καὶ τῷ ἡγεμόνι ἐνεφάνισαν τὸ γεγονός [101].

**20.** [1]Καὶ ἐκέλευσεν ὁ ἡγεμὼν [102] ἄγεσθαι τὸν Παῦλον ἐπὶ τὸ βῆμα· ἡ δὲ Θέκλα ἐκυλίετο ἐπὶ τοῦ τόπου οὗ ἐδίδασκεν ὁ Παῦλος καθήμενος ἐν τῇ φυλακῇ. Ὁ δὲ ἡγεμὼν ἐκέλευσεν κἀκείνην ἀχθῆναι ἐπὶ τὸ βῆμα· ἡ δὲ μετὰ χαρᾶς ἀπίει ἀγαλλιωμένη. Ὁ δὲ ὄχλος προσαχθέντος πάλιν τοῦ Παύλου [103] περισσοτέρως ἐβόα·

–Μάγος ἐστίν, αἶρε αὐτόν.

[2]Ἡδέως δὲ ἤκουεν ὁ ἡγεμὼν τοῦ Παύλου [104] ἐπὶ τοῖς ὁσίοις ἔργοις τοῦ Χριστοῦ [105]· καὶ συμβούλιον ποιήσας ἐκάλεσεν τὴν Θέκλαν λέγων·

Διὰ τί οὐ γαμεῖ [106] κατὰ τὸν Ἰκονιέων νόμον τῷ Θαμύριδι;

Ἡ δὲ εἱστήκει Παύλῳ ἀτενίζουσα· τῆς δὲ μὴ ἀποκρινομένης, Θεοκλεία ἡ μήτηρ αὐτῆς ἀνέκραγεν λέγουσα·

–Κατάκαιε τὴν ἄνομον, κατάκαιε τὴν ἄνυμφον ἐν μέσῳ θεάτρου, ἵνα πᾶσαι αἱ ὑπὸ τούτου διδαχθεῖσαι γυναῖκες φοβηθῶσιν.

**21.** [1]Καὶ ὁ ἡγεμὼν [107] ἔπαθεν μεγάλως, καὶ τὸν μὲν Παῦλον φραγελλώσας ἔξω τῆς πόλεως ἐξέβαλεν, τὴν δὲ Θέκλαν ἔκρινε κατακαῆναι. Καὶ εὐθέως ὁ ἡγεμὼν ἀναστὰς ἀπίει εἰς τὸ θέατρον· καὶ πᾶς ὁ ὄχλος ἐξῆλθεν ἐπὶ τὴν ἀνάγκην τῆς θεωρίας [108].

[101] τὸ γεγονός addimus cum EFG.
[102] ὁ ἡγεμὼν addimus cum FG.
[103] ἐκ τῆς φυλακῆς add. E.
[104] ἤκουεν [...] τοῦ παύλου] ἤκουεν αὐτοῦ ὁ ἀνθύπατος AB.
[105] ἐπὶ [...] τοῦ Χριστοῦ] ἐπὶ τοῖς θείοις αὐτοῦ ἔργοις AB: *in suis iustis operibus* m.
[106] γαμεῖ] πείθει C Tisch.
[107] Καὶ ὁ ἡγεμὼν] ὁ δὲ ἀνθύπατος E.
[108] *ad crudele spectaculum* lat. cd: θεωρίαν Θέκλης AB Tisch.

[2]Ἡ δὲ Θέκλα ὡς ἀμνὸς ἐν ἐρήμῳ περισκοπεῖ τὸν ποιμένα, οὕτως ἐκείνη τὸν Παῦλον ἐζήτει. Καὶ ἐμβλέψασα εἰς τὸν ὄχλον εἶδεν τὸν κύριον καθήμενον ὡς Παῦλον, καὶ εἶπεν [109]·

–Ὡς ἀνυπομονήτου μου οὔσης ἦλθεν Παῦλος θεάσασθαί με.

Καὶ προσεῖχεν αὐτῷ ἀτενίζουσα· ὁ δὲ εἰς οὐρανοὺς ἀπίει.

**22.** [1]Οἱ δὲ παῖδες [110] καὶ αἱ παρθένοι ἤνεγκαν ξύλα καὶ χόρτον [111] ἵνα Θέκλα κατακαῇ. Ὡς δὲ εἰσήχθη γυμνή, ἐδάκρυσεν ὁ ἡγεμὼν καὶ ἐθαύμασεν τὴν ἐν αὐτῇ δύναμιν [112]. Ἔστρωσαν δὲ τὰ ξύλα καὶ ἐκέλευσαν αὐτὴν οἱ δήμιοι ἐπιβῆναι τῇ πυρᾷ· ἡ δὲ τὸν τύπον τοῦ σταυροῦ ποιησαμένη ἐπέβη τῶν ξύλων· οἱ δε ὑφῆψαν [113]. [2]Καὶ μεγάλου πυρὸς λάμψαντος οὐχ ἥψατο αὐτῆς τὸ πῦρ· ὁ γὰρ θεὸς σπλαγχνισθεὶς [114] ἦχον ὑπόγαιον ἐποίησεν, καὶ νεφέλη ἄνωθεν ἐπεσκίασεν ὕδατος πλήρης καὶ χαλάζης, καὶ ἐξεχύθη [115] πᾶν τὸ κύτος, ὡς πολλοὺς κινδυνεῦσαι καὶ ἀποθανεῖν, καὶ τὸ πῦρ σβεσθῆναι τὴν δὲ Θέκλαν σωθῆναι.

**23.** [1]Ἦν δὲ ὁ Παῦλος νηστεύων μετὰ Ὀνησιφόρου καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν τέκνων ἐν μνημείῳ ἀνοικτῷ [116], ἐν ὁδῷ ἐν ᾗ ἀπὸ Ἰκονίου εἰς Δάφνην πορεύονται. Ἡνίκα δὲ ἡμέραι πολλαὶ διῆλθον, νηστευόντων αὐτῶν εἶπον οἱ παῖδες [117] τῷ Παύλῳ·

–Πεινῶμεν [118].

Καὶ οὐκ εἶχον πόθεν ἀγοράσωσιν ἄρτους [119]· κατέλιπεν γὰρ τὰ τοῦ κόσμου ὁ Ὀνησιφόρος καὶ ἠκολούθει Παύλῳ πανοικί. [2]Παῦλος δὲ ἀπεδύσατο τὸν ἐπενδύτην καὶ εἶπεν·

[109] ἐν ἑαυτῇ add. FG d.
[110] οἱ δὲ παῖδες] AB: αἱ δὲ παιδίσκαι C Tisch: *mulieres* d.
[111] καὶ χόρτον] om. ABC m Tisch.
[112] Sic cum CE m: ἐπὶ τῷ κάλλει αὐτῆς AB: τὴν δύναμιν τοῦ κάλλους αὐτῆς FG: *quae esset in ea patientia et animi uirtus* d.
[113] οἱ δὲ ὑφῆψαν] οἱ δὲ δήμιοι ὑφῆψαν τὸ πῦρ FG.
[114] ἐπ' αὐτῇ add. F (ἐπ' αὐτὴν) G.
[115] καὶ ἐξεχύθη [...] κύτος] καὶ ἐξεχύθη πλῆθος ὑδάτων πολλῶν E: κύτος τοῦ ἐδάφους FG.
[116] ἀνοικτῷ] ABF c Syr.: καινῷ C Tisch.
[117] Ὀνησιφόρου add. CE cm.
[118] πάτερ add. G.
[119] καὶ οὐκ [...] ἄρτους] καὶ οὐκ εὕρομεν ἄρτους ἀγοράσαι AB Tisch.

–"Ὕπαγε, τέκνον, ἀγόρασον ἄρτους πλείονας καὶ φέρε.

Ὡς δὲ ἠγόραζεν ὁ παῖς, εἶδεν Θέκλαν τὴν γείτονα[120], καὶ ἐθαμβήθη καὶ εἶπεν·

–Θέκλα, ποῦ πορεύῃ;

Ἡ δὲ εἶπεν·

–Παῦλον διώκω, ἐκ πυρὸς σωθεῖσα.

Καὶ ὁ παῖς εἶπεν·

–Δεῦρο, ἀπαγάγω σε πρὸς αὐτόν· στενάζει γὰρ περὶ σοῦ καὶ προσεύχεται καὶ νηστεύει ἡμέρας ἤδη ἕξ.

**24.** 1 Ὡς[121] δὲ ἐπέστη ἐπὶ τὸ μνημεῖον Παύλῳ[122] κεκλικότι τὰ γόνατα καὶ προσευχομένῳ καὶ λέγοντι·

–Πάτερ Χριστοῦ[123], μὴ ἀψάσθω Θέκλης τὸ πῦρ, ἀλλὰ πάρεσο αὐτῇ, ὅτι σή[124] ἐστιν.

Ἡ δὲ ὄπισθεν ἑστῶσα[125] ἐβόησεν·

2–Πάτερ[126], ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ τοῦ[127] παιδὸς τοῦ ἀγαπητοῦ σου Ἰησοῦ Χριστοῦ πατήρ, εὐλογῶ σε ὅτι ἔσωσάς με ἐκ πυρός, ἵνα Παῦλον ἴδω.

Καὶ ἀναστὰς Παῦλος εἶδεν αὐτὴν καὶ εἶπεν·

–Θεὲ καρδιογνῶστα, ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐλογῶ σε ὅτι ὃ ἠρώτησα ἐτάχυνάς μοι καὶ εἰσήκουσάς μου.

**25.** 1 Καὶ[128] ἦν ἔσω ἐν τῷ μνημείῳ ἀγάπη πολλή, Παύλου ἀγαλλιωμένου καὶ Ὀνησιφόρου καὶ πάντων. Εἶχον δὲ ἄρτους πέντε καὶ λάχανα καὶ ὕδωρ <καὶ ἅλας>[129], καὶ εὐφραίνοντο ἐπὶ τοῖς ὁσίοις ἔργοις τοῦ Χριστοῦ. Καὶ εἶπεν Θέκλα τῷ Παύλῳ·

–Περικαροῦμαι[130] καὶ ἀκολουθήσω σοι ὅπου δὰν πορεύῃ.

Ὁ δὲ εἶπεν·

–Ὁ καιρὸς αἰσχρός, καὶ σὺ[131] εὔμορφος· μὴ ἄλλος σε πειρασμὸς λήψεται χείρων τοῦ πρώτου, καὶ οὐχ ὑπομείνῃς ἀλλὰ δειλανδρήσῃς[132].

2 Καὶ εἶπεν Θέκλα·

–Μόνον δός μοι τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ οὐχ ἅψεταί μοι πειρασμός.

Καὶ εἶπεν Παῦλος·

–Θέκλα, μακροθύμησον, καὶ λήψῃ τὸ ὕδωρ[133].

**26.** 1 Καὶ ἀπέπεμψεν Παῦλος τὸν Ὀνησιφόρον[134] πανοικὶ εἰς Ἰκόνιον, καὶ οὕτως[135] λαβόμενος τὴν Θέκλαν εἰς Ἀντιόχειαν εἰσῆλθεν. Ἅμα δὲ τῷ εἰσέρχεσθαι αὐτούς[136], συριάρχης τις Ἀλέξανδρος ὀνόματι[137] ἰδὼν τὴν Θέκλαν ἠράσθη[138] αὐτῆς, καὶ ἐξελιπάρει τὸν Παῦλον χρήμασι καὶ δώροις[139]. Ὁ δὲ Παῦλος εἶπεν·

–Οὐκ οἶδα τὴν γυναῖκα ἣν λέγεις, οὐδὲ ἔστιν ἐμή.

Ὁ δὲ πολὺ δυνάμενος[140], αὐτὸς αὐτῇ περιεπλάκη[141] εἰς τὸ ἄμφοδον· ἡ δὲ οὐκ ἠνέσχετο, ἀλλὰ Παῦλον ἐζήτει. Καὶ ἀνέκραγεν πικρῶς[142] λέγουσα·

2–Μὴ βιάσῃ τὴν ξένην, μὴ βιάσῃ τὴν τοῦ θεοῦ δούλην. Ἰκονιέων εἰμὶ πρώτη, καὶ διὰ τὸ μὴ θέλειν με γαμηθῆναι Θαμύριδι, ἐκβέβλημαι τῆς πόλεως.

Καὶ λαβομένη τοῦ Ἀλεξάνδρου περιέσχισεν αὐτοῦ τὴν χλαμύδα καὶ τὸν στέφανον ἀφείλετο ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν θρίαμβον[143].

120 *in platea* add. c.

121 Ὡς δὲ] ἡ δὲ C Tisch: *et thecla uenit cum eo* Syr.

122 Παύλῳ [...] λέγοντι] ὅπου ἦν Παῦλος κεκλικώς [...] καὶ προσευχόμενος καὶ λέγων C Tisch: Παύλου τὰ γόνατα κεκλικότος καὶ προσερχομένου καὶ λέγοντος G.

123 FGBC Tisch diuerso modo inuocationem adhibent quod et in caeteris inuocationibus accidit: πάτερ ἅγιε (κύριε G) Ἰησοῦ Χριστέ F: πάτερ καὶ υἱὲ καὶ ἅγιον πνεῦμα θεότης μία B: σῶτερ Χριστέ C Tisch.

124 σή] δούλη σου FG lat. cdm.

125 *et non uidebatur ab illo* add. c: *et non uidebat eam Paulus* add. d.

126 πάτερ] πάτερ καὶ θεέ E: πάτερ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἅγιον πνεῦμα B: δέσποτα κύριε G.

127 ὁ τοῦ παιδὸς [...] πατήρ] ὁ τοῦ ἁγίου σου παιδὸς πατήρ C Tisch.

128 καὶ ἦν [...] πάντων] om. C Tisch d.

129 addimus com Lipsius iuxta Syr.

130 Περικαροῦμαι] περιχαροῦ G: *circumtonde me* c.

131 γυνὴ add. FG.

132 δειλανδρήσῃς] δειλιάσεις EF.

133 τὸ ὕδωρ] τὴν δωρεὰν τοῦ θεοῦ F: τὴν δωρεὰν τοῦ Χριστοῦ G: *signum salutis* c: *lauacrum regenerationis* d.

134 εἰς τὸν οἶκον αὐτοῦ add. FG.

135 Sic cum ABE: οὗτος C.

136 εἰς Ἀντιόχειαν add. AB m: εἰς τὴν πόλιν F.

137 Ἀντιοχέων πρῶτος add. ABEFG cm Syr.: πολλὰ ποιῶν ἐν τῇ πόλει ἐκείνῃ ἐν τῇ ἀρχῇ αὐτοῦ add. FG.

138 Sic cum CE Tisch: ἐφίλησεν αὐτὴν ABG.

139 πολλοῖς add. FG cd.

140 ὀδυνώμενος τῷ πρὸς αὐτὸν πόθῳ add. E: εἰς Ἀντιόχειαν add. FG.

141 φιλῶν αὐτὴν add. FG.

142 πικρῶς] πιστῶς E: ἐν φωνῇ μεγάλῃ add. G.

143 ἐπὶ πάντων add. FG.

**27.** [1]Ὁ δὲ [144] ἅμα μὲν φιλῶν αὐτήν, ἅμα δὲ καὶ αἰσχυνόμενος τὸ γεγονὸς αὐτῷ [145], προσήγαγεν αὐτὴν τῷ ἡγεμόνι [146], κἀκείνης ὁμολογησάσης ταῦτα πεπραχέναι κατέκρινεν αὐτὴν εἰς θηρία [147]. Αἱ δὲ γυναῖκες ἐξεπλάγησαν καὶ ἀνέκραξαν παρὰ τὸ βῆμα·

–Κακὴ κρίσις, ἀνοσία κρίσις.

[2]Ἡ δὲ Θέκλα ᾐτήσατο τὸν ἡγεμόνα ἵνα ἁγνὴ μείνῃ μέχρις οὗ θηριομαχήσῃ. Καί τις γυνὴ [148] πλουσία [149], ὀνόματι Τρύφαινα, ἧς ἡ θυγάτηρ ἐτεθνήκει [150], ἔλαβεν αὐτὴν εἰς τήρησιν, καὶ εἶχεν εἰς παραμυθίαν.

**28.** [1]Ἡνίκα δὲ τὰ θηρία ἐπόμπευεν, προσέδησαν [151] αὐτὴν λεαίνῃ πικρᾷ, καὶ ἡ βασίλισσα Τρύφαινα ἐπηκολούθει αὐτῇ [152]. Ἡ δὲ λέαινα ἐπάνω καθεζομένης Θέκλης περιέλειχεν αὐτῆς τοὺς πόδας, καὶ πᾶς ὁ ὄχλος ἐξίστατο· ἡ δὲ αἰτία τῆς ἐπιγραφῆς αὐτῆς ἦν Ἱερόσυλος. [2]Αἱ δὲ γυναῖκες μετὰ τῶν τέκνων ἔκραζον ἄνωθεν λέγουσαι·

–Ὦ θεέ [153], ἀνοσία [154] κρίσις γίνεται ἐν τῇ πόλει ταύτῃ.

Καὶ ἀπὸ τῆς πομπῆς [155] πάλιν λαμβάνει αὐτὴν ἡ Τρύφαινα· ἡ γὰρ θυγάτηρ αὐτῆς Φαλκονίλλα ἦν τεθνεῶσα, καὶ κατ᾽ ὄναρ εἶπεν αὐτῇ· Μῆτερ, τὴν ξένην [156] τὴν ἔρημον Θέκλαν ἕξεις εἰς τὸν ἐμὸν τόπον, ἵνα εὔξηται ὑπὲρ ἐμοῦ καὶ μετατεθῶ εἰς τὸν τῶν δικαίων τόπον [157].

**29.** [1]Ὅτε οὖν ἀπὸ τῆς πομπῆς [158] ἐλάμβανεν αὐτὴν ἡ Τρύφαινα, ἅμα μὲν ἐπένθει ὅτι ἔμελλεν εἰς τὴν αὔριον [159] θηριομαχεῖν, ἅμα δὲ καὶ στέργουσα ἐμπόνως ὡς τὴν θυγατέρα Φαλκονίλλαν εἶπεν·

–Τέκνον μου δεύτερον Θέκλα, δεῦρο πρόσευξαι [160] ὑπὲρ τοῦ τέκνου μου, ἵνα [161] ζήσεται εἰς τοὺς αἰῶνας [162]· τοῦτο γὰρ εἶδον ἐν ὕπνοις.

[2]Ἡ δὲ [163] μὴ μελλήσασα ἐπῆρεν τὴν φωνὴν αὐτῆς [164] καὶ εἶπεν·

–Ὁ θεός μου [165], ὁ υἱὸς τοῦ ὑψίστου [166] ὁ ἐν τῷ οὐρανῷ, δὸς αὐτῇ [167] κατὰ τὸ θέλημα αὐτῆς, ἵνα ἡ θυγάτηρ αὐτῆς Φαλκονίλλα ζήσεται εἰς τοὺς αἰῶνας.

Καὶ [168] ταῦτα εἰπούσης Θέκλης ἐπένθει ἡ Τρύφαινα ἐπέχουσα [169] τοιοῦτον κάλλος εἰς θηρία βαλλόμενον.

**30.** [1]Καὶ ὅτε ὄρθρος ἐγένετο, ἦλθεν Ἀλέξανδρος [170] παραλαβεῖν αὐτήν, αὐτὸς γὰρ ἐδίδου τὰ κυνήγια, λέγων [171]·

–Ὁ ἡγεμὼν κάθηται καὶ ὁ ὄχλος θορυβεῖ ἡμᾶς· δὸς ἀπαγάγω τὴν θηριομάχον.

[2]Ἡ δὲ Τρύφαινα ἀνέκραξεν ὥστε φυγεῖν αὐτὸν λέγουσα·

–Φαλκονίλλης μου δεύτερον πένθος ἐπὶ τὴν οἰκίαν γίνεται, καὶ οὐδεὶς ὁ βοηθῶν· οὔτε τέκνον, ἀπέθανεν γάρ, οὔτε συγγενής, χήρα γάρ εἰμι. Ὁ θεὸς Θέκλης τοῦ τέκνου μου, βοήθησον Θέκλῃ [172].

[144] Ἀλέξανδρος add. FG.
[145] ὑπ᾽ αὐτῆς add. E.
[146] Lat. codd. diuerso modo ad Alexandri furiam alludunt.
[147] βληθῆναι add. CFH.
[148] Sic cum BEFH cm Tisch.: βασίλισσα Lipsius cum Syr. iuxta 28.
[149] ἐπεκολούθει αὐτῇ add. E.
[150] ὀνόματι Φαλκονίλλα add. FH.
[151] *in amphitheatro posita est in cauea in qua erat leaena saeuissima et introiuit in arenam pompa spectaculi* d. Et alii lat. codd. similiter.
[152] ἕως οὗ εἰσῆλθεν εἰς τὸ θέατρον add. FH.
[153] Ὦ θεέ] ὁ θεὸς ἔφιδε ὅτι F.
[154] ἀνοσία] ἄθωος κρίσις ὅτι ἀνοσία κρίσις H.

[155] τῆς πομπῆς] τοῦ πρετορίου (sic) H.
[156] τὴν ξένην] τὴν ξένην ταύτην (om. τὴν ἔρημον) C Tisch.
[157] *in locum refrigerii* cd.
[158] πομπῆς] νομῆς A: τῶν θηρίων πομπῆς B: ἀπὸ τοῦ πρετορίου H.
[159] εἰς τὴν αὔριον] τῇ ἐπιούσῃ ἡμέρᾳ FH.
[160] τῷ θεῷ σου add. FH, qui om. ὑπὲρ τοῦ τέκνου μου.
[161] ἵνα [...] αἰῶνας] ἵνα ζήσῃ τὸ τέκνον μου Φαλκονίλλα FH.
[162] εἰς τοὺς αἰῶνας] om. ABFH.
[163] Θέκλα add. CFH cds.
[164] πρὸς τὸν θεὸν add. FH.
[165] Sic cum E: ὁ θεὸς τῶν πατέρων A: ὁ θεὸς τῶν οὐρανῶν cm: κύριε ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν FH.
[166] κύριε Ἰησοῦ Χριστέ add. FH: ὁ ὕψιστος ὁ θεὸς ὁ αἰώνιος B.
[167] αὐτῇ] αὐτῆς ABFH cm Tisch.: τῇ Τρυφαίνῃ C.
[168] καὶ [...] Τρύφαινα] ἀκούσασα ταῦτα ἡ Τ. ἐπένθει FH (cd).
[169] ἐπέχουσα] AC Tisch: βλέπουσα B: θεωροῦσα FH.
[170] εἰς τὴν οἰκίαν τῆς Τρυφαίνης add. FH.
[171] πρὸς τὴν Τρύφαιναν add. FH.
[172] ἐν τῇ ὥρᾳ ταύτῃ τῆς ἀνάγκης add. H.

31. [1]Καὶ πέμπει[173] ὁ ἡγεμὼν στρατιώτας ἵνα ἀχθῇ Θέκλα. Ἡ δὲ Τρύφαινα οὐκ ἀπέστη, ἀλλὰ αὐτὴ λαβομένη τῆς χειρὸς αὐτῆς ἀνήγαγεν λέγουσα·

–Τὴν μὲν θυγατέρα μου Φαλκονίλλαν ἀπήγαγον εἰς τὸ μνημεῖον· σὲ δέ[174], Θέκλα, εἰς θηριομαχίαν ἀπάγω.

[2]Καὶ[175] ἔκλαυσεν Θέκλα πικρῶς καὶ ἐστέναξεν πρὸς κύριον, λέγουσα·

–Κύριε ὁ θεὸς ᾧ ἐγὼ πιστεύω, ἐφ' ὃν ἐγὼ κατέφυγα, ὁ ῥυσάμενός με ἐκ πυρός, ἀπόδος μισθὸν Τρυφαίνῃ τῇ εἰς τὴν δούλην σου συμπαθησάσῃ, καὶ ὅτι με ἁγνὴν ἐτήρησεν.

32. [1]Θόρυβος οὖν ἐγένετό[176] τε καὶ πάταγος τῶν θηρίων[177] καὶ βοὴ τοῦ δήμου καὶ τῶν γυναικῶν ὁμοῦ καθεσθεισῶν, τῶν μὲν λεγόντων· Τὴν ἱερόσυλον εἰσάγαγε· τῶν δὲ λεγουσῶν· Ἀρθήτω ἡ πόλις ἐπὶ τῇ ἀνομίᾳ ταύτῃ· αἶρε πάσας ἡμᾶς, ἀνθύπατε· πικρὸν θέαμα, κακὴ κρίσις[178].

33. [1]Ἡ δὲ Θέκλα ἐκ χειρὸς Τρυφαίνης ληφθεῖσα ἐξεδύθη[179] καὶ ἔλαβεν διαζώστραν καὶ ἐβλήθη εἰς τὸ στάδιον[180]. Καὶ λέοντες καὶ ἄρκοι ἐβλήθησαν ἐπ' αὐτήν. Καὶ πικρὰ λέαινα[181] προσδραμοῦσα εἰς τοὺς πόδας αὐτῆς ἀνεκλίθη· ὁ δὲ ὄχλος τῶν γυναικῶν ἐβόησεν[182] μέγα. [2]Καὶ ἔδραμεν ἐπ' αὐτὴν ἄρκτος· ἡ δὲ λέαινα δραμοῦσα ὑπήντησεν καὶ διέρρηξεν τὴν ἄρκτον. Καὶ πάλιν λέων δεδιδαγμένος ἐπ' ἀνθρώπους[183] ὃς ἦν Ἀλεξάνδρου ἔδραμεν ἐπ' αὐτήν· καὶ ἡ λέαινα[184] συμπλέξασα τῷ λέοντι συνανῃρέθη. Μειζόνως δὲ ἐπένθησαν αἱ γυναῖκες, ἐπειδὴ καὶ ἡ βοηθὸς αὐτῇ λέαινα ἀπέθανεν.

34. [1]Τότε εἰσβάλλουσιν πολλὰ θηρία, ἑστώσης[185] αὐτῆς καὶ ἐκτετακυίας τὰς χεῖρας[186] καὶ προσευχομένης. Ὡς δὲ ἐτέλεσεν τὴν προσευχήν[187], ἐστράφη καὶ εἶδεν ὄρυγμα μέγα πλῆρες ὕδατος, καὶ εἶπεν· Νῦν καιρὸς λούσασθαί με. Καὶ ἔβαλεν ἑαυτὴν[188] λέγουσα· Ἐν τῷ ὀνόματι[189] Ἰησοῦ Χριστοῦ ὑστέρᾳ ἡμέρᾳ βαπτίζομαι. [2]Καὶ ἰδοῦσαι αἱ γυναῖκες καὶ πᾶς ὁ ὄχλος ἔκλαυσαν[190] λέγοντες·

–Μὴ βάλῃς ἑαυτὴν εἰς τὸ ὕδωρ·

Ὥστε καὶ τὸν ἡγεμόνα δακρῦσαι[191], ὅτι τοιοῦτον κάλλος φῶκαι ἔμελλον ἐσθίειν. Ἡ μὲν οὖν ἔβαλεν ἑαυτὴν εἰς τὸ ὕδωρ ἐν τῷ ὀνόματι[192] Ἰησοῦ Χριστοῦ· αἱ δὲ φῶκαι πυρὸς ἀστραπῆς φέγγος ἰδοῦσαι νεκραὶ ἐπέπλευσαν[193]. Καὶ ἦν περὶ αὐτὴν[194] νεφέλη πυρός, ὥστε μήτε τὰ θηρία ἅπτεσθαι αὐτῆς, μήτε θεωρεῖσθαι αὐτὴν γυμνήν.

35. [1]Αἱ δὲ γυναῖκες ἄλλων[195] θηρίων βαλλομένων φοβερωτέρων[196] ὠλόλυξαν, καὶ αἱ μὲν ἔβαλλον φύλλον, αἱ δὲ νάρδον, αἱ δὲ κασίαν, αἱ δὲ ἄμωμον[197], ὡς εἶναι πλῆθος μύρων. Πάντα δὲ τὰ βληθέντα θηρία ὥσπερ ὕπνῳ κατασχεθέντα οὐχ ἥψαντο αὐτῆς· ὥστε τὸν Ἀλέξανδρον εἰπεῖν τῷ ἡγεμόνι·

[2]–Ταύρους ἔχω λίαν φοβερούς, ἐκείνοις προσδήσωμεν τὴν θηριομάχον.

Καὶ στυγνάσας ἐπέτρεψεν[198] ὁ ἡγεμὼν λέγων·

–Ποίει ὃ θέλεις.

[173] Καὶ πέμπει] εὐθέως δὲ πέμπει C Tisch.
[174] τέκνον μου add. FH.
[175] καὶ ἐβόησεν Θέκλα πρὸς κύριον καὶ add. FH.
[176] θόρ. οὖν ἐγέν.] CEFH d(m) Tisch.: πικρὸς ἦν ἦχος B.
[177] καὶ πατ. τῶν θηρίων] om. C Tisch: πάντων ὁμοῦ βοησάντων τῶν τε θηρίων καὶ τοῦ δήμου add. E.
[178] παράνομος καὶ ἄδικος ταύτῃ (sic) ἡ κρίσις add. F.
[179] γυμνὴ add. FG c.
[180] Hoc loco Syriaca uersio longam orationem Theclae refert.
[181] *in qua proconsul triumphabat* add. lat c.
[182] ἐβόησεν] ἀνεβόησεν G; ἐξίστατο C.
[183] δεδιδαγμένος [...] ἀνθρώπους] δεδειγμένους G: τρώγειν (τοὺς) ἀνθρώπους FG.
[184] De duobus leonibus refert d: *et iterum leaena illa inualuit in leonem et occidit eum. Et iterum leo alius missus est, sed hunc leaena repellens ambo pariter mortui sunt.*

[185] ἑστώσης [...] προσευχομένης] CEFG Tisch.: ἔστη οὖν καὶ ἐκτείνασα τὰς χεῖρας προσεύχετο πρὸς κύριον AB Syr.
[186] εἰς τὸν οὐρανὸν add. FG.
[187] αὐτῆς ἡ Θέκλα add. FG.
[188] εἰς τὸ ὕδωρ add. FG.
[189] τοῦ κυρίου add. AE: *in nomine dei patris et filii et spiritus sancti* add. m.
[190] ἔκλαυσαν] ἔκραζον G: ἐκραύγασαν E: ἐβόησαν F.
[191] *et omnis populus simul plorabat* add. c.
[192] τοῦ κυρίου ἡμῶν add. FG.
[193] πᾶσαι ἀνέπλευσαν περὶ τὴν Θέκλαν FG.
[194] Sic cum EFG cdm Syr: ὡς ἦν (ὑπῆρχε B) γυμνὴ AC Tisch.
[195] πάλιν add. G.
[196] Sic cum AB ms: φοβερῶν FG: om. C Tisch: *ululatum dederunt magnum* d.
[197] αἱ δὲ ἄμωμον] κινάμωμον C: αἱ δὲ μύρον add. FG.
[198] ἐπέτρεψεν] om. FG, qui pro λέγων habent εἶπεν τῷ Ἀλεξάνδρῳ.

Καὶ ἔδησαν[199] αὐτὴν ἐκ τῶν ποδῶν μέσον τῶν ταύρων, καὶ ὑπὸ τὰ ἀναγκαῖα αὐτῶν πεπυρωμένα σίδηρα ὑπέθηκαν, ἵνα πλείονα ταραχθέντες ἀποκτείνωσιν αὐτήν[200]. Οἱ μὲν οὖν ἥλλοντο[201]· ἡ δὲ περικαιομένη φλὸξ[202] διέκαυσεν τοὺς κάλους, καὶ ἦν ὡς οὐ δεδεμένη.

**36.** [1]Ἡ δὲ Τρύφαινα ἐξέψυξεν ἑστῶσα παρὰ τὴν ἀρήναν ἐπὶ τοὺς ἄβακας, ὥστε[203] τὰς θεραπαινίδας εἰπεῖν·

–Ἀπέθανεν ἡ βασίλισσα Τρύφαινα.

Καὶ ἐπέσχεν ὁ ἡγεμών, καὶ πᾶσα[204] ἡ πόλις ἐπτύρη· καὶ ὁ Ἀλέξανδρος[205] πεσὼν εἰς τοὺς πόδας τοῦ ἡγεμόνος εἶπεν[206]· [2]Ἐλέησον[207] κἀμὲ καὶ τὴν πόλιν, καὶ ἀπόλυσον τὴν θηριομάχον, μὴ καὶ ἡ πόλις[208] συναπόληται. Ταῦτα γὰρ ἐὰν ἀκούσῃ ὁ Καῖσαρ, τάχα ἀπολέσει σὺν ἡμῖν καὶ τὴν πόλιν, ὅτι ἡ συγγενὴς αὐτοῦ Τρύφαινα ἡ βασίλισσα ἀπέθανεν παρὰ τοὺς ἄβακας.

**37.** [1]Καὶ ἐκάλεσεν ὁ ἡγεμὼν τὴν[209] Θέκλαν ἐκ μέσου τῶν θηρίων καὶ εἶπεν αὐτῇ·

–Τίς εἶ σύ[210]; καὶ τίνα τὰ περὶ σέ, ὅτι οὐδὲ ἓν τῶν θηρίων ἥψατό σου;

Ἡ δὲ εἶπεν[211]·

–Ἐγὼ μέν εἰμι θεοῦ τοῦ ζῶντος[212] δούλη· τὰ δὲ περὶ ἐμέ, εἰς ὃν εὐδόκησεν ὁ θεὸς υἱὸν αὐτοῦ[213] ἐπίστευσα· δι' ὃν οὐδὲ ἓν τῶν θηρίων ἥψατό μου. Οὗτος γὰρ μόνος σωτηρίας ὅρος[214] καὶ ζωῆς ἀθανάτου[215] ὑπόστασίς ἐστιν· [2]χειμαζομένοις γὰρ γίνεται καταφυγή[216], θλιβομένοις ἄνεσις, ἀπηλπισμένοις[217] σκέπη, καὶ ἀπαξαπλῶς ὃς ἐὰν μὴ πιστεύσῃ εἰς αὐτόν, οὐ ζήσεται ἀλλὰ ἀποθανεῖται[218] εἰς τοὺς αἰῶνας.

**38.** [1]Καὶ ταῦτα ἀκούσας ὁ ἡγεμὼν ἐκέλευσεν ἐνεχθῆναι ἱμάτια καὶ εἶπεν[219]·

–Ἔνδυσαι τὰ ἱμάτια.

Ἡ δὲ εἶπεν[220]·

–Ὁ ἐνδύσας με γυμνὴν ἐν τοῖς θηρίοις, οὗτος ἐν ἡμέρᾳ κρίσεως ἐνδύσει με σωτηρίαν.

[2]Καὶ λαβοῦσα τὰ ἱμάτια ἐνεδύσατο. Καὶ ἐξέπεμψεν εὐθέως ὁ ἡγεμὼν ἄκτον λέγων· Θέκλαν τὴν τοῦ θεοῦ δούλην τὴν θεοσεβῆ ἀπολύω ὑμῖν. Αἱ δὲ γυναῖκες πᾶσαι[221] ἔκραξαν φωνῇ μεγάλῃ καὶ ὡς ἐξ ἑνὸς στόματος ἔδωκαν αἶνον τῷ θεῷ λέγουσαι· Εἷς θεὸς ὁ Θέκλαν σώσας[222], ὥστε ἀπὸ τῆς φωνῆς σεισθῆναι πᾶσαν τὴν πόλιν[223],

**39.** [1]καὶ τὴν Τρύφαιναν εὐαγγελισθεῖσαν[224] ἀπαντῆσαι μετὰ ὄχλου καὶ περιπλακῆναι τῇ[225] Θέκλῃ καὶ εἰπεῖν·

–Νῦν[226] πιστεύω ὅτι νεκροὶ ἐγείρονται· νῦν πιστεύω ὅτι τὸ τέκνον μου ζῇ· δεῦρο[227] ἔσω, καὶ τὰ ἐμὰ πάντα σοὶ καταγράψω[228].

[2]Ἡ μὲν οὖν Θέκλα εἰσῆλθεν μετ' αὐτῆς καὶ ἀνεπαύσατο εἰς τὸν οἶκον αὐτῆς ἡμέρας ὀκτώ[229], κατηχήσασα αὐτὴν τὸν λόγον τοῦ θεοῦ, ὥστε πιστεῦσαι καὶ τῶν παιδισκῶν τὰς πλείονας[230], καὶ μεγάλην εἶναι χαρὰν ἐν τῷ οἴκῳ[231].

**40.** [1]Ἡ δὲ Θέκλα Παῦλον ἐπεπόθει καὶ ἐζήτει[232] αὐτὸν περιπέμπουσα πανταχοῦ· καὶ ἐμηνύθη αὐτῇ ἐν Μύροις[233]

199 ἔδησαν […] ταύρων] προσέδησαν τοῖς ταύροις (om. αὐτὴν ἐκ τῶν ποδῶν μέσον) AB c.
200 αὐτήν] τὴν δέσμιον Θέκλαν FG Syr.
201 βοῶντες φοβερόν FG.
202 ἡ φλὸξ τὰ περικειμένα (μέλη add. G) τῶν ταύρων FG.
203 ὥστε […] εἰπεῖν] ABE m (cd Syr): ὡς εἰπεῖν τὸν ὄχλον C Tisch.
204 πᾶσα] FG cdm s: om. ABCE Tisch.
205 φοβηθεὶς add. FG c Syr.
206 εἶπεν] iuxta CE cd: παρεκάλει τὸν ἡγεμόνα λέγων AB Tisch.
207 δέομαί σου ἐλέησον FG.
208 σὺν σοὶ καὶ ἐμοὶ add. FG.
209 ἁγίαν add. C sicut et alibi.
210 *quae est ars tua* d.
211 Ἡ δὲ εἶπεν] καὶ ἀπεκρίθη αὐτῷ ἡ (om. G) Θέκλα λέγουσα (om. F) FG.
212 ζῶντος] ὑψίστου C.
213 τὸν μονογενῆ· τὸν κύριον Ἰησοῦν Χριστὸν add. E: Ἰησοῦν Χριστόν FG.
214 σωτηρίας ὅρος] σωτηρίας αἰωνίου ὁδός FG: σωτηρίας ὁδός E.
215 καὶ ζωῆς ἀθανάτου] καὶ ζωῆς καὶ θανάτου F: *et uitae mortisque discretio* m.
216 καταφυγή] λιμὴν καταφυγῆς E.

217 ἐλπὶς καὶ add. FG.
218 ἀλλὰ ἀποθανεῖται] om. ABC Tisch d.
219 εἶπεν […] ἱμάτια] EFG Syr: καὶ ἐνδύσασθαι αὐτήν ABC Tisch cd.
220 ἡ δὲ εἶπεν] καὶ εἶπεν (ἡ ἁγία C) Θέκλα ABC Tisch c.
221 καὶ πᾶς (CE) ὁ ὄχλος add. CDF: *multitudo populi et mulieres* m.
222 ὁ Θέκλαν σώσας] ὁ Θέκλης C Tisch Syr: ὁ τῆς Θέκλης, εἷς θεὸς ὁ σώσας Θέκλαν G.
223 Sic cum ABEFG: σαλευθῆναι τὰ θεμέλια τοῦ θεάτρου C Tisch.
224 εὐαγγελισθεῖσαν] εὐαγγελισθῆναι καὶ E.
225 ἁγίᾳ add. C Tisch.
226 νῦν […] ἐγείρονται] om. ABF.
227 δεῦρο ἔσω] τέκνον μου Θέκλα ἔσω εἰς τὸν οἰκόν μου FG cd Syr.
228 Sic cum CEFG cd (*consecrabo*): καταλείψω AB.
229 ὀκτώ] ὀλίγας FG.
230 πάντας (ἅπαντας E) τοὺς ἐν τῇ οἰκίᾳ CE: om. F cd.
231 αὐτῆς add. C: (τῆς F) Τρυφαίνης FG.
232 Παῦλον ἐπεπόθει καὶ ἐζήτει] ABEFG Syr: Παῦλον ἐζήτει C Tisch m.
233 τῆς Λυκίας add. CFG Tisch.

εἶναι αὐτόν. Καὶ λαβοῦσα νεανίσκους[234] καὶ παιδίσκας, ἀναζωσαμένη καὶ ῥάψασα[235] τὸν χιτῶνα εἰς ἐπενδύτην σχήματι ἀνδρικῷ ἀπῆλθεν ἐν Μύροις, καὶ εὗρεν Παῦλον λαλοῦντα[236] τὸν λόγον τοῦ θεοῦ καὶ ἐπέστη αὐτῷ[237]. 2 Ὁ δὲ ἐθαμβήθη βλέπων αὐτὴν καὶ τὸν ὄχλον τὸν μετ' αὐτῆς, λογισάμενος μή τις αὐτῇ[238] πειρασμὸς πάρεστιν ἕτερος. Ἡ δὲ συνιδοῦσα εἶπεν αὐτῷ·

–Ἔλαβον τὸ λουτρόν, Παῦλε· ὁ γὰρ σοὶ συνεργήσας εἰς τὸ εὐαγγέλιον κἀμοὶ συνήργησεν εἰς τὸ λούσασθαι[239].

**41.** 1 Καὶ λαβόμενος ὁ Παῦλος[240] τῆς χειρὸς αὐτῆς ἀπήγαγεν αὐτὴν εἰς τὸν οἶκον Ἑρμείου καὶ πάντα ἀκούει παρ' αὐτῆς[241], ὥστε ἐπὶ πολὺ θαυμάσαι τὸν Παῦλον, καὶ τοὺς ἀκούοντας στηριχθῆναι[242] καὶ προσεύξασθαι ὑπὲρ τῆς Τρυφαίνης. Καὶ ἀναστᾶσα[243] Θέκλα εἶπεν τῷ Παύλῳ·

–Πορεύομαι εἰς Ἰκόνιον.

Ὁ δὲ[244] Παῦλος εἶπεν·

–Ὕπαγε καὶ δίδασκε τὸν λόγον τοῦ θεοῦ.

Ἡ μὲν[245] οὖν Τρύφαινα πολὺν ἱματισμὸν καὶ χρυσὸν ἔπεμψεν αὐτῇ[246], ὥστε καταλιπεῖν τῷ Παύλῳ εἰς διακονίαν τῶν πτωχῶν.

**42.** 1 Αὐτὴ[247] δὲ ἀπῆλθεν εἰς Ἰκόνιον. Καὶ εἰσέρχεται εἰς τὸν Ὀνησιφόρου οἶκον, καὶ ἔπεσεν εἰς τὸ ἔδαφος ὅπου[248] Παῦλος καθεζόμενος ἐδίδασκεν τὰ λόγια τοῦ θεοῦ, καὶ ἔκλαιεν[249] λέγουσα·

–Ὁ θεός μου καὶ τοῦ οἴκου τούτου, ὅπου μοι τὸ φῶς ἔλαμψεν, Χριστὲ Ἰησοῦ ὁ υἱὸς τοῦ θεοῦ[250], ὁ ἐμοὶ βοηθὸς ἐν φυλακῇ, βοηθὸς ἐπὶ ἡγεμόνων, βοηθὸς ἐν πυρί, βοηθὸς ἐν θηρίοις, αὐτὸς[251] εἶ θεός, καὶ σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

**43.** Καὶ εὗρεν τὸν Θάμυριν τεθνεῶτα, τὴν δὲ μητέρα ζῶσαν· καὶ προσκαλεσαμένη τὴν μητέρα αὐτῆς λέγει αὐτῇ[252]·

–Θεοκλεία μῆτερ, δύνασαι πιστεῦσαι ὅτι ζῇ κύριος ἐν οὐρανοῖς; εἴτε[253] γὰρ χρήματα ποθεῖς, δώσει σοι κύριος δι' ἐμοῦ· εἴτε τὸ τέκνον, ἰδού, παρέστηκά σοι.

Καὶ ταῦτα διαμαρτυραμένη ἀπῆλθεν εἰς Σελεύκειαν, καὶ πολλοὺς φωτίσασα τῷ λόγῳ τοῦ θεοῦ μετὰ καλοῦ ὕπνου ἐκοιμήθη[254].

234 πολλοὺς add. F.

235 Sic cum CG Tisch: ῥίψασα AEF: στρέψασα B: *mutauit* c.

236 λαλοῦντα τὸν λόγον] τὸν λόγον κηρύσσαντα AB.

237 καὶ ἐπέστη αὐτῷ] ABE c Syr: καὶ παρέστη αὐτῷ ἀθρόως FG: om. C Tisch d.

238 αὐτῇ] αὐτῷ πειρασμὸς E: πειρασμὸς αὐτῷ C Syr.

239 εἰς τὸ λούσασθαι] εἰς τὸ ἅγιον βάπτισμα F.

240 καὶ [...] Παῦλος] ταῦτα τοίνυν εἰπούσης αὐτῆς λαβόμενος ὁ μακάριος Παῦλος M.

241 καὶ πάντα ἀκούει παρ' αὐτῆς] cum ABCEL Tisch m: καὶ διηγήσατο τῷ (om. G) Παύλῳ ἡ Θέκλα πάντα τὰ συμβεβηκότα αὐτῇ (αὐτῆς F) ἐν Ἀντιοχείᾳ FG: καὶ καθεσθέντων αὐτῶν διηγήσατο ἡ μακαρία Θέκλα (ἡ μακ. Θ. om. Syr.) τῷ μεγάλῳ Παύλῳ πάντα τὰ συμβάντα αὐτῇ λεπτομέρως (om. Syr.) M Syr.

242 μὲν πλέον ἐν τῇ πίστει τοῦ Χριστοῦ add. M.

243 καὶ ἀναστᾶσα [...] Παύλῳ] Ἡ οὖν μακαρία Θέκλα μικρὸν ἔνθα τρίψασα σὺν τῷ μεγάλῳ Παύλῳ λέγει αὐτῷ M.

244 ὁ δὲ ἔφη αὐτῇ· ἄπελθε ἐν εἰρήνῃ καὶ add. M.

245 καταλείψασα τοίνυν ἡ μακαρία Θέκλα τῷ μεγάλῳ Παύλῳ τὸ χρυσίον καὶ τὸ ἱματισμὸν καὶ ἀποσταλέντα αὐτῷ παρὰ τῆς ῥυφαίνης (sic) εἰς διακονίαν τῶν πτωχῶν ἀπῆλθεν εἰς τὸ Ἰκόνιον pergit M post τοῦ θεοῦ.

246 αὐτῇ] διὰ τῆς Θέκλης τῷ Παύλῳ FGH.

247 αὐτὴ] ἡ δὲ Θέκλα FGH.

248 ὁ μακάριος add. M.

249 πικρῶς add. CK: καὶ μετὰ κλαυθμοῦ προσεύξατο εὐχαριστοῦσα καὶ ἐξομολογουμένη (δοξολογουμένη) τῷ κυρίῳ (τῷ θεῷ G) καὶ λέγουσα FGH: καὶ προσεύξατο κλαίουσα καὶ λέγουσα οὕτως M.

250 τοῦ ζῶντος add. CGH Tisch: καὶ πατρός· εὐχαριστῶ σοι ὅτι ἐγένου μοι βοηθός add. EFIKLM.

251 αὐτὸς εἶ θεός] EIK (m): αὐτὸς ὑπάρχεις δεδοξασμένος B Tisch: αὐτὸς εἶ ... ἀμήν om. c: βοηθὸς ἐν πᾶσι C.

252 λεγει ἡ ἁγία Θέκλα τῇ μητρὶ αὐτῆς C.

253 νῦν οὖν εἰ μὲν τὰ ῥήματα ποθεῖς τῆς αἰωνίου ζωῆς M.

254 ἡ παρθένος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν add. EF. Alii codices aliter referunt. Quae sequuntur additamenta sunt codicum ABCG (Tisch). Cf. appendicem I.